40 Planiciem inferiorem, quae substructionibus imponitur. 41 Vox a στρέφειν derivata n. 971_{21} ἀστραφὴς scribitur. Eadem inconstantia cum in hac voce apud scriptores quoque observatur, tum alia haud pauca sunt manifesto ad verbi στρέφω radicem referenda, quae tamen β pro φ habeant, veluti στράβος, στρεβλός, στρόβος, στρόβιλος, στρόμβος. De vocis usu ac significatione ad Plut. ad principem ineruditum c. 2 p. 780 B (ὥσπερ ὁ κανών, αὐτὸς ἀστραβὴς γενόμενος καὶ ἀδιάστροφος, οὕτως ἀπευθύνει τὰ λοιπὰ τῇ πρὸς αὐτὸν ἐναρμογῇ καὶ παραθέσει) provocat F. 42 Theophr. Hist. pl. V 3, 7 (τῶν ἐλαΐνων ῥιζῶν, ἀρραγεῖς γὰρ αὗται). 43 Regula (κανόνι) rubrica infecta examinatur lapis (id est μιλτολογεῖν); qui quo pervigatus est, eo minor pars eius regula rubricata per totam planiciem perducta rubricam non recipit. Qui igitur tam planus ac laevis est, ut totus rubrica inducatur, σύμμιλτος vocatur. F. 44 ξοῖς χαρακτὴ est scalprum dentatum (‚*Zahneisen*'). Duo genera sunt ex quibus alterum (πυκνὴ ἐπηκονημένη) dentes plures et acutiores, alterum (τραχεῖα) pauciores et obtusiores habet. Illud eis lapidum partibus adhibetur, quae accuratius laevigandae sunt. F. 45 Substructiones quibus pavimenti tabulae imponuntur sic comparatae sunt, ut certis intervallis lapides formae

καὶ ἐπὶ τὴν ὑπευθυντη[ρί]|αν μὴ ἔλαττον ἢ ἐπὶ δύο πόδας ἐκ τοῦ προσιόντος ἁρμοῦ[46], τὰ | δὲ μέσα συνψαύοντα ἀπὸ ξοΐδος χαρακτῆς τραχείας, ποι|ῶν ὀρθὰ πάντα πρὸς κανόνα διηνεκῆ μὴ ἐλάττω τοῦ
110 ἐν|εργουμένου λίθου, πλάτος μὴ στενότερον δακτύλων ἕξ, | ὕψος ἡμιποδίου· ὑποτεμεῖ[47] δὲ τῶν καταστρωτήρων πάν|των ἐγ βάσεως τὸ ἐπὶ τὴν ὑπευθυντηρίαν ἐπιβαῖνον ἐ|κ τοῦ ἀπιόντος ἁρμοῦ πλάτος καὶ βάθος τὸ δειχθέν, ἐρ|γαζόμενος τὰς ὑποτομάς, καθὼς καὶ περὶ τῶν βάσεων |
115 γέγραπται, χάλασμα ποιῶν ἐν τῆι ὑποτομῆι τῆι παρὰ τὴ[ν] | ὑπευθυντηρίαν μὴ πλέον δακτυλίσκου· ἐργᾶται δὲ καὶ | τοὺς ἁρμοὺς πάντας τοὺς ἀπιόντας τῶν καταστρωτή|ρων συμμίλτους, ὀρθούς, ἀστραβεῖς, ἀρραγεῖς, καθέτο(υ)ς[48], εὐ|γωνίους[49] πρὸς τὸ προσαγωγεῖον[50], στερεούς, κύκλωι τὰ τρία | μέρη[51] μὴ ἔλαττον δακτύλων ἐννέα ἀπὸ
120 λειστρίου λείου[52] ἐ|πηκονημένου μιλτολογῶν δοκίμως, τὰ δὲ μέσα

---

oblongae (κρατευταί) transversi a cellae pariete columnas versus currant, medium vero inter eos spatium rudere calculoso expleatur (ὑπευθυντηρία). Atque semper quidem commissurae tabularum pavimenti supra ipsam mediam crateutarum partem sunt. Sic fit, ut margines dexter et sinister uniuscuiusque lapidis crateutis imponantur. Haec igitur pars planiciei inferioris accuratius laevigatur, item anterior pars duos pedes a margine. Reliqua pars planiciei inferioris (τὰ μέσα συνψαύοντα) minus accurate elaboratur, quia postea excavanda est (not. 46). F. 46 ἁρμοί, latera quattuor tabularum, opponuntur superficiei et planiciei inferiori. Atque ὁ προσιὼν ἁρμός anticum latus est, ὁ ἀπιὼν ἁρμός v. 112 manifesto de postico latere dicitur, at in eis quae sequuntur v. 116 sqq. plurali οἱ ἁρμοὶ οἱ ἀπιόντες tria reliqua praeter anticum latera comprehendi videntur; aliter enim de marginibus dextro et sinistro elaborandis omnino nihil diceretur.

47 Si unus lapis alteri adaptandus erat, Graeci eam modo planiciei partem, quae margini proprior erat, accurate laevigatam sic committebant, ut nihil intervalli esset; contra mediam planiciem paullulum excavabant, ut spatium (χάλασμα) relinqueretur. Hoc est ὑποτέμνειν. F.

48 ΚΑΘΕΤΟΣ. Emendavit F., perpendicularia interpretatus. 49 Ut rectos angulos habeant. F. 50 Inter instrumenta quibus in aedificando utuntur προσαγωγεῖον commemorat Plato Phileb. 56 C, ubi scholiasta adnotat τεκτονικόν ἐστιν ὄργανον, ὃ προσάγοντες εὐθύνουσι τὰ στρεβλὰ ξύλα. In titulo normam (‚*Winkel*') designari manifestum est. F. 51 I.e. marginem cuiusque lateris dextrum, superiorem, sinistrum. Inferior cum media parte lateris minus accurate laevigatur ut in planicie inferiore media pars usque ad posticum marginem (not. 45), atque eadem quidem de causa.

52 λίστρον instrumentum quo lapides laevigantur ex Homero χ, 455 et Hesychio s. λίστρον et λιστρωτόν notum erat, λειστρίον hic primum comparet. ‚Apparet autem ex titulo nostro λειστρίον scalprum esse quo lapidarii subtilissimam assequebantur laevigationem. nam hoc instrumento

συν|ψαύοντα ἀπὸ ξοΐδος χαρακτῆς τραχείας, καὶ ἀναθυρώ|σει53 τοὺς
ἁρμοὺς πάντας τοὺς ἀπιόντας κανόν[ι λιθί]νωι μιλτολογῶν δοκίμως,
ἀναξέων τοὺς καν[όνας] | πάντας, ὁσάκις ἂν κελεύωμεν, πρὸς τὸν κα-
125 νόν[α τὸν λίθινον] | τὸν ἐν τῶι ἱερῶι ὑπάρχοντα δοκίμως. ἀποξέσ[ει
δὲ πρὸς54] | τοὺς ἁρμοὺς τῶν καταστρωτήρων τοὺς ἀπιό[ντας τοὺς55 |
τῶν] κειμένων καὶ τέλος ἐχόντων, πρὸς οὓς μ[έλλει αὐτοὺς] | τιθέναι,
ἐκτείνας τὴν λινέην κατὰ κεφαλὴ[ν _ s-ioi _]νείου ἐν ὀρθῶι [ἀρι]στε-
130 ραχόθεν καὶ τοῦ προδόμ[ου τῆς] | μακρᾶς πλευρᾶς καὶ γραμμὰς κατα-
γραψάμε[νος παρόν]|τος τοῦ ἀρχιτέκτονος ἀφελέτω τὸ πρόσεργον56 [τὸ
ὑπάρχ]|ον(?) ἀπὸ κολαπτῆρος, πλάτος ποιῶν τὸ δοθέν, ποι[ῶν πάντα] |
ὀρθά, ὀξυώρια57· καὶ μιλτολογησάτω τὴν ἄκραν πάν[των τῶν] | λίθων
135 τῶν κειμένων τῶ[ν] τρεισκαίδεκα πρὸς κ[ανόνα] | μακρὸν μὴ ἐλάττονα
ποδῶν εἴκοσι, πάχος ἓξ δα[κτύλων], | ὕψος ἡμιποδίου, μιλτολογῶν ἀπὸ
λειστρίου λείου ἐ[πηκονη]μένου, ποιῶν ὀρθά, ἀρραγῆ, σύμμιλτα, βά-
θος μὴ ἔλατ[τον ἐννέα] | δακτύλους, πρῶτον διαξέσας σημείας58 παρὰ

---

utuntur ad sculpendos laterum margines qui propter subtilem commissuram diligentissime omnium erant perpoliendi. cum vero λειστρίον dicatur λεῖον ἐπηκονημένον, i.e. leve (non dentatum) et acutum, haud dissimile fuisse videtur ei scalpro quod hodierni lapicidae ‚*Scharireisen*' vocant'. F.

53 In formam portae aut fenestrae mediam planiciei partem aliquantum exsecabit (cf. not. 46). 54 Suppl. Dttb. 55 Suppl. idem. Kumanudes v. 125 sqq. sic constituit τὸν ἐν τῶι ἱερῶι ὑπάρχοντα, δοκίμως ἀποξέσ[ας πάντας] | τοὺς ἁρμοὺς τῶν καταστρωτήρων τοὺς ἀπιό[ντας, καθὼς | τῶν] κειμένων καὶ τέλος ἐχόντων. At hic de lapidum qui iam collocati essent lateribus laevigandis dici monuit F. Is igitur legit τὸν ἐν τῶι ἱερῶι ὑπάρχοντα δοκίμως. ἀποξέσ[ει δὲ καὶ] | τοὺς ἁρμοὺς τῶν καταστρωτήρων τοὺς ἀπιό[ντας | τῶν] κειμένων καὶ τέλος ἐχόντων. Quo in supplemento vehementissime offendit τοὺς ἀπιόντας; nam posterioris ordinis lapidum, qui iam collocatus est, non postica, sed antica latera laeviganda eisque novos prioris ordinis lapides adaptandos esse apparet. Cf. v. 144 ubi manifesto οἱ ἀπιόντες ἁρμοὶ opponuntur iis, de quibus hic dicitur. Quare sic supplevi ut sententia sit: ‚Ad exemplum posticorum laterum novorum lapidum antica eorum qui iam collocati sunt latera, quibuscum illa committenda sunt, laevigabit'. Dttb. 56 Partem lapidis quae ultra lineas ductas prominet. F.

57 I.e. ὀξὺν ὅρον ἔχοντα (*scharfkantig*). 58 Sic (aut σημέα, σημήα) hoc verbum non modo in Polybii codicibus antiquissimis, sed etiam in omnibus paullo antiquioribus titulis (veluti in monumento Ancyrano) scribitur, ut mero eius temporis quo iam ε et αι idem sonabant errori tribuenda sit scriptura quae adhuc sola in scriptorum editionibus exprimitur σημαία. Ceterum hoc femininum, quod alibi signum militare indicat, hic pro volgari σημεῖον scriptum est.

το[ὺς ἁρμοὺς][59] | καθ' ἕκαστον τῶν λίθων ἐν ὀρθῶι πρὸς τὸ προσα[γω-
140 γεῖον] | καὶ τὴν γραμμὴν τὴν καταγραφεῖσαν, πρὸς ἣν [παραξέ]|σει τὴν
παραξοήν[60], παραξέσει δὲ καὶ τὴν ἐν τῶι πρ[οδόμωι γραμ]|μὴν ὡσαύ-
τως, ἔπειτεν ἀναθυρώσει τοὺς ἁρμοὺς [πρὸς τὸν] | κανόνα τὸν λίθινον
τῶν κειμένων καταστρωτ[ήρων, πρὸς] | οὓς μέλλει τιθέναι, καθὼς καὶ
145 περὶ τῶν ἀπιόντων [ἁρμῶν] | γέγραπται[61]· ὅταν δὲ μέλληι τιθέναι
τοὺς λίθους, πρ[οεπικόψει] | τοὺς κρατευτὰς κατὰ κεφαλὴν καὶ τὴν
ὑπευθυντη[ρίαν, τοὺς] | μὲν κρατευτὰς ἀπὸ ξοΐδος πυκνῆς, χαρακτῆς,
ἐπ[ηκονημέ]|νης, τὴν δὲ ὑπευθυντηρίαν ἀπὸ ξοΐδος ἀρτιστόμο[υ[62], ἀκο-
150 λού]|θως τοῖς κειμένοις καὶ τέλος ἔχουσιν, καὶ ἀποδείξ[ει ἐπικε]|κομ-
μένα δοκίμως, εἶτεν θήσει τοὺς καταστρωτῆρ[ας, ἐργα]|ζόμενος καθὼς
γέγραπται, ἀρχόμενος τῆς θέσεω[ς ἀριστε]|ραχόθεν, ὡς ἂν αὐτῶι δει-
χθῆι, ἕνα ἀμφ' ἁρμόν[63], ἐμβα[λὼν . . . .]|ψος ἐπίσφηνον[64], κατὰ κε-
φαλὴν δὲ στοιχοῦντα[65] τ[οῖς κειμένοις] | καὶ τέλος ἔχουσιν· καὶ ἐλαίωι
155 δὲ καθαρῶι πρὸς πάν[τας τοὺς κα]|νόνας χρήσεται καὶ μίλτωι Σινω-
πίδι[66], ἐὰν δὲ μὴ χ[ρῆται μίλ]|τωι Σινωπίδι ἢ ἐλαίωι καθαρῶι,
ζημιωθήσεται ὑπ[ὸ τῶν ναο]|ποιῶν καὶ βοιωταρχῶν[67], καὶ οὐ πρό-
τερον αὐτῶι λί[θος οὐδεὶς] | κατακλεισθήσεται ἕως ἂν ἐπιδείξηι τοῖς
ναοπο[ιοῖς χρησά]|μενος μίλτωι Σινωπίδι δοκίμωι ἢ ἐλαίωι καθαρῶ[ι·
160 ἐπιδεί]|ξει δὲ τὴν μὲν ἐργασίαν καὶ τὴν σύνθεσιν τῶι ἀρχιτέκ[τονι,
τῶι δ' ὑ]|παρχιτέκτονι τῶν λίθων πάντων τοὺς ἁρμοὺς καὶ τ[ὰς βά]|-
σεις, ἅμα τριμματολογῶν[68] τὰς μὲν βάσεις ἐκ χλόης ἐλ[αίας][69] |

---

59 Suppl. Dttb. 60 Praecisio (*Schnittfläche*) quae alibi κατατομή vocatur (Harpocr. s. κατατομή). F. 61 V. 121 sqq. 62 Scalprum quod planam, i.e. obtusam, neque dentatam neque acutam cuspidem habet. F. 63 Ut unus lapis semper unius ex iis qui iam collocati sunt latus tangat, neque vero prioris ordinis binorum lapidum commissurae mediis posterioris ordinis lapidibus singulis respondeant et vice versa. Ad ἕνα videtur supplendum lapidem, et ἀμφ' ἁρμὸν dici pro ἀμφ' ἕκαστον ἁρμόν. F. Cf. εἷς ἀπὸ φυλῆς similesque locutiones. 64 De ligno cuneiformi, quod dum lapides collocantur inter eos intericitur, ne detrimentum capiant, interpretatur F. Adlerum et Doerpfeldium secutus. Substantivum in -ψος cadens quale fuerit non magis assequor quam Fabricius. Dttb. An ex adiectivo γαμψός neutrum (τὸ) γάμψος fingamus? Hi.

65 Ut superficies duorum lapidum accuratissime inter se coniungantur et unam quasi planiciem efficiant. 66 De rubrica Sinopensi cf. Strab. XII 540. Vitr. VII 7, 2. Plin. N. h. XXXV 31. Boeckh Staatshaush. II 354; Robinson Amer. Journ. Phil. XXVII 1906, 141. 67 Hinc apparet, non a Lebadensium civitate, sed a communi Boeotorum templum exstructum esse. 68 τριμματολογεῖν ‚tritu perpolire' interpretatur F. Nam qui

ἐν ταῖς ἰδίαις χώραις βεβηκότας[70] ὅλους ἀσχάστους[71], ἀνε[γκλή]|-
165 τους, ἀνυποπάστους, ὁμοτριβοῦντας, διακρούων τὰ δ[ιάκε]|να(?)[72] τῶν
τριμμάτων, τὰ μὲν εἰς τοὺς κρατευτὰς ἀπὸ ξοῖδ[ος χα]|ρακτῆς, πυκνῆς,
ἐπηκονημένης, τὸ δὲ ὑπὸ τὴν ὑπευθυν[τηρί]|αν ἀπὸ ξοῖδος ἀρτιστόμου,
τοὺς δὲ ἁρμοὺς ἐξ ἐλαίου κ . . . . . |βδίου[73] ἀπὸ λειστρίου λείου, ἐπη-
κονημένου· ὅταν δὲ συντε[λέσηι] | τὸν ἁρμόν, ἐγνιτρώσας καὶ ἐκπλύνας
170 ὕδατι καθαρῶι, ἔπ[ειτεν] | κατακλειέτω· τὴν δὲ ἐμβολὴν τῶν γόμφων
καὶ τῶν δ[εμάτων] | καὶ τῶν π[ελ]εκίνων[74] καὶ τὸν σταθμὸν τούτων
καὶ τὴν μ[ολυβδο]|χοῖαν πᾶ[σ]αν[75] τοῖς ναοποιοῖς παρὼν αὐτὸς ὁ ἐρ-
γώνης, ἀ[νεπί]|δεικτον [δ]ὲ μηδὲν κατακλειέτω· ἐὰν δέ τι κατακλείσῃ[ι,
πάλιν] | τε ἐξ ἀρχῆς ἄρας ποιήσει καὶ ζημιωθήσεται ὑπὸ τῶν ναο-
175 π[οιῶν] | καὶ βοιωταρχῶν καθ' ὅ,τι ἂν φαίνηται ἄξιος εἶναι μὴ ποιῶν
[τῶν ἐν] | τῆι συγγραφῆι γεγραμμένων· καὶ ἐάν τις ἄλλος τῶν συ[ν-
εργα]|ζομένων ἐξελέγχηταί τι κακοτεχνῶν, ἐξελαυνέσθω ἐ[κ τοῦ] | ἔργου
καὶ μηκέτι συνεργαζέσθω· ἐὰν δὲ μὴ πεί[θ]ηται, ζη[μιωθή]|σεται καὶ
180 οὗτος μετὰ τοῦ ἐργώνου, καὶ οὐ πρότερον οὐδέν[α μο]|λυβδοχοήσει
λίθον, ἕως ἂν ποιήσηι τὰ γεγραμμένα· ἐὰν δέ π[ου παρὰ] | τὸ ἔργον
συμφέρηι τινὶ μέτρωι τῶν γεγραμμένων προσλ[ιπεῖν ἢ] | συνελεῖν, ποή-
σει ὡς ἂν κελεύωμεν· ὅταν δὲ συνθῆι π[άντας] | τοὺς καταστρωτῆρας,

lapides scalpro laevigati fuissent, eos apud antiquos, ut etiamnum fieret, terendo ita poliri solitos esse, ut quam accuratissime alter alteri adaptari posset. 69 Supplevit F., sucum subviridem olivae sive oleum nondum perpurgatum intelligens, quam in rem affert Geopon. X 21, 12: τῇ χλόῃ -- ἐπάλειφε. 70 Haec et sequentia de lapidibus intelligenda esse apparet, etsi in eis quae proxime antecedunt eorum mentio non facta est. F. 71 In titulo Oropio n. 973_{14} ἀσκάστους est, scriptura accommodatiore origini vocis, quam a σκάζειν (cf. illic not. 8), non a σχάζειν descendere significatio docet. Antecedens sibila aspirationi ansam dedit ut in Αἰγόσθενα pro Αἰγόστενα (n. 331^4). Thespiensium n. pr. Ἀσκασστόδαμος IG VII 1906. Bechtel Hist. Personennamen 85. 72 Haec et proxima obscura sunt. 73 κ[αὶ διὰ ῥα]|βδίου Kum., cui supplemento spatium non sufficit. κ[α]|(θαρ)οῦ Fabr. emendare conatus est, sed Lollingius Kumanudem recte legisse affirmat testis oculatus. Nescio an vox ceteroquin ignota certum olei genus significans hic fuerit. Dttb. 74 δέμασι, ansis, crateutarum lapides fortasse inter se iuncti erant, γόμφοις, vinculis planis, καταστρωτῆρες cum subiectis crateutis conligati. Praeter γόμφους et δέματα, quae lapidibus ita facile inmitti potuerunt, ut in facie exteriore non apparerent, πελεκῖνοι quoque (securiculae, cf. Bluemner Termin. u. Techn. II 306) hoc loco commemorantur, quibus lapides in superficie ni fallor conligari solebant'. F. p. 84. 75 Hic ἐπιδείξει lapicidae errore intercidit. F.

ἐπικοψάτω κατὰ κεφαλὴν ἀκολούθ[ως τοῖς] | κειμένοις καὶ τέλος
185 ἔχουσιν, καὶ μιλτολογησάτω ἀπὸ ξοΐδ[ος χαρα]|κτῆς δοκίμως τῶι μα-
κρῶι κανόνι, διακολαπτηρίζων[76] τού[τους] | κύκλωι πάντας, διαβητι-
ζόμενος κατὰ κεφαλὴν ἀπὸ τῆς ὑ[παρχού]|σης περιτενείας[77] τῶν κα-
ταστρωτήρων, κύβους[78] κατασκευ[ασάμε]|νος ξύλων ξηρῶν ἀγριελαΐνων
καὶ ἀποδείξας ὀρθὰ καὶ σύμ[μιλτα].

76 κολαπτήρ (v. 132) est dolabra, qua lapides dolantur priusquam scalpro laevigentur. F. 77 Cf. not. 29. Hic superficies lapidum iam collocatorum efficit περιτένειαν. 78 Duo cubi aequales in lapidum parte complanata ita disponebantur, ut superimposita eis regula cum libella posset examinari, quantum de parte aspera scalpendo et laevigando demendum esset. Doerpfeld apud F.

973. Pactum de canali in Amphiarai fano Oropio faciendo, a. 338—322. In Amphiaraio Oropiorum. Edd. Leonardos Ἐφ. ἀργ. 1891, 71, 34 (IG VII 4255; Michel 586; Syll.² 542); cf. Bethe Realenc.² I 1896; Lattermann Ath. Mitt. XXXIII 1908, 76; XXXV 1910, 81. [*Hi*]

θεοί. | ἐν Ἀμφιαράου ἐκ τοῦ λοτρῶνος[1] τοῦ ⟨αν⟩ ἀνδρείο|υ ὅπως ἂν
τὸ ὕδωρ μὴ κωλύηται ῥεῖν ὑπὸ τῆς χ|αράδρας ὅ[τ]αν ῥεῖ[2], ἀλλ' εἰ
5 χρήσιμος ὁ λουτρὼν ὅ|ταν χειμάζει ὁ θεός, ὀχετὸμ ποῆσαι λίθινον
κ|ρυπτόν[3], τὸ μὲν μῆκος, ἀρξάμενον ἀπὸ τοῦ στρ|ώματος τοῦ τῆς γε-
φύρας μέχρι τῆς καταβάσ|ειω[ς][4] τῆς παρὰ τὸν γυναικεῖον λουτρῶνα
10 τά|φρον ὀρύξαντα μῆκος μὲν τὸ γεγ[ρα]μμένον[5], πλ|άτος δὲ ἀπὸ τοῦ
ἀναλήμματος[6] τοῦ τῆς χαράδ|ρας τεττάρων ποδῶν, βάθος δὲ τρίπουν
θήσει λ|ίθους τοὺς μὲν ἐν τῶι ἐδάφει φορμηδὸν[7] συντιθ|εὶς πρὸς ἀλ-
λήλους ἁρμόττοντας καὶ εἰς ἕδραν | ἀσκάστους[8], κατακρούων τὸν λίθον

Litterae cum quarto saeculo vindicent inscriptionem, ea quae v. 36. 37 de conductore et praede leguntur haec tum incisa arguunt, cum Oropus Atheniensium esset. At hoc tribus diversis illius aetatis spatiis a. 400—387, 377—366, 338—322 usu venit. Iam cum hic constanter ει pro ηι scribatur, de temporibus anno 366 prioribus omnino cogitare non licet, ut appareat tituli originem nec proelio Chaeronensi priorem neque calamitate anni 322 recentiorem esse. Adde, quod a. 333/2 Pytheas Atheniensis αἱρεθεὶς ἐπὶ τὰς κρήνας -- τὴν ἐν Ἀμφιαράου κρήνην κατεσκεύακεν καὶ τῆς τοῦ ὕδατος ἀγωγῆς καὶ τῶν ὑπονόμων ἐπιμεμέληται αὐτόθι (n. 281_{12}). 1 Scriptio ο pro ου vel in tabula anni 325 (IG II 809) occurrit. Meisterhans Gr.³ 26²⁰.
2 ὅει Dttb. contra lapidem (L), ceteroquin probabiliter. 3 Hic canalis nondum inventus est L. 4 Cf. n. 216⁴. 5 ΓΕΓΑΡΜΜΕΝΟΝ.
6 Cf. n. 813 *A*⁴. 7 Cf. n. 969¹⁰. 8 Sic hic et infra scribitur ex vera vocis origine. Nam quin a σκάζειν repetenda sit, quod de aedificiis usurpatum labandi notionem habet (Anth. Pal. I 2_3 δόμον σκάζοντα νοήσας) non est

15 ἕκαστον | μολύβδωι ἢ λίθωι, ἐπικόψας δὲ κατὰ κεφαλὴν καὶ σ|υνομαλίσας πρὸς τὴν καταφοράν[9], ὅπως ἂν εἶ | εὕρον[10], ἐπιθήσει ἐπὶ τούτων ἐξεργασμένους | τῶν λίθων τὰς ἕδρας ὀρθὰς καὶ ἀστραφεῖς[11] καὶ
20 τ|οὺς ἁρμοὺς ὅλους[12]· τὰ δὲ μέτωπα[13] ἀναπελεκήσ|ει εὐτενῆ· θήσει δὲ τοὺς λίθους ὀρθοὺς ἐπὶ τὰ τ|ριημιπόδια, διαλείπων διάρρουν πλάτος ποδός, | θήσει δὲ εἰς ἕδραν ἀσκάστους κ[αὶ] πρὸς ἀλλήλ|ους ἁρμόττοντας, συμβά[λλων] τοὺς ἁρμοὺς | ὅλους[14]. ἐπικόψας δὲ [κ]ατὰ[15] κεφα-
25 λὴν εὐτενῆ συ|νστ[ρώ]σει[16] λίθοις, συντιθεὶς πρὸς ἀλλήλους ἁ|ρμόττοντας καὶ εἰς ἕδραν ἀσκάστους τιθείς, | ἀρτιλιθίαν[17] μηδαμοῦ ποιῶν. παρασάξει δὲ τοὺ|ς λίθους ἅπαντας γεῖ τεῖ ἐκ τῆς τάφρου· λίθοις | δὲ
30 χρήσεται τοῖς ἐκ τοῦ θεάτρου τοῦ κατὰ τὸ[μ] βωμόν[18], προσαγόμενος αὐτὸς αὑτῶι πρὸ|ς τὸ ἔργον· ἐὰν δὲ μὴ ἱκανοὶ ὦσιν, παρέξουσιν | ὅσων ἂν προσδεῖ[19] οἱ ἐπιμεληταὶ πρὸς τῶι ἔργω|ι. ἀναιρήσεται δὲ τὸ ἔργον κατὰ
35 τετραποδίαν, καὶ ἀποδώσει τέλος ἔχον[20] εἴκοσι ἡμερῶν ἀφ' ἧς ἂν | λάβει τὸ ἀργύριον. ἐμισθώσατο τὴν τετραπο|δίαν ΠΗ[21] μισθωτὴς Φρῦνος Ἀλωπεκῆσι οἰκῶν. ἐγγ|υητὴς Τελεσίας Τελλίου Εὐωνυμεύς[22]. -- | --

---

dubium. De forma aspirata ἄσχαστος cf. n. 972[71]. 9 Ita coniungat lapides ut planicies tota aequabilem inclinationem habeat, per quam aqua sine ullo impedimento deorsum feratur. 10 Cf. not. 1. 11 Cf. n. 972[41].

12 Hoc item ad ἐξεργασμένους rettulerim. Ea planicies qua unusquisque lapis cum proximo committitur, tota laeviganda est; id definite enuntiatur, quia haud raro (cf. n. 972[47]) ea modo pars, quae undique margini proxima erat, accurate dolabrabatur, cum media paullulum excavarentur.

13 Superficies ea, quae non alii lapidi committitur, sed aperta manet.

14 Tota planicies proximo lapidi committitur, non margines modo, quia tota accurate laevigata est (not. 12). 15 ΤΑΤΑ L. 16 ΣΤΩΡΣΕΙ.

17 ἀρτιλιθία manifesto id structurae genus vocatur, quo cuiusque ordinis singuli lapides singulis proxime inferioris imponuntur, ita ut commissurae per omnes ordines recta linea continuentur. Id firmitatis causa studiose vitandum esse sponte patet. 18 Cavea theatri aram Amphiarai ex parte cingens reperta est; eam huius tituli aetate haud exiguo temporis spatio antiquorem fuisse neque sub finem saeculi quarti etiamtum ludis scaenicis inserviisse, hinc apparet, siquidem lapidibus illinc avolsis redemptor in alia aedificatione uti iubetur. Leon. (Dttb.). Nam altero demum saeculo theatrum ita restitutum esse, tituli docent (IG VII 423 c. add. p. 745; Doerpfeld-Reisch Theater 105/8; fig. 42: [Νίκων Νίκωνος? ἱερεὺ]ς γενόμενος τὴν σκηνὴν καὶ τὰ θυρώμ[ατα Ἀμ]φιαράωι et -- ἀγωνοθετήσας τὸ προσκήνιον καὶ τοὺς πίνα[κας ἀνέθηκε]. 19 Cf. n. 283[5]. 20 Cf. n. 157[3]. 21 L, cf. iam Gr. Bauinschr. 63. 22 Tellias Telesiae pater Euonymensis compositis Wilhelmi (Beitr. 216, 200) et Wilamowitzii (Sappho u. Simonides 107) disputationibus ab eo Tellia vix diversus erit habendus, qui quarto saeculo

Hermam Mercurio dedicavit inscripto carmine in Anth. Pal. VI 346 temere Anacreonti tributo: Τελλίᾳ ἱμερόεντα βίον πόρε, Μαιάδος υἱέ, ἀντ' ἐρατῶν δώρων τῶνδε χάριν θέμενος. δὸς δέ μιν εὐθυδίκων Εὐωνομέων ἐνὶ δήμῳ ναίειν αἰῶνος μοῖραν ἔχοντ' ἀγαθήν. Sequitur Telliam ἐν Εὐωνομέων οἰκοῦντα primo inquilini ius, deinde aut ipsum aut filium civitatem Atticam adeptum esse.

10. Commercium similia.

Adde n. 218. Olbiopolitarum legem (² 546). 354. Eleusiniorum frumentationem (² 548). Omisimus Oropiorum decretum (² 547).

974. Rhodiorum lex de oleo distribuendo, saec. I p. Chr. Rhodi in urbe. Ed. Collignon Bull. Hell. VII 1883, 96 (IG XII 1, 3 et p. 206; SGDI 3755; Syll.² 549). [*Hi*]

[ἔδοξεν τῶι δ]άμωι ἐν τᾷ ἐκλησίᾳ ἐν τῶι Ἀρταμιτίωι μηνί· τῶ[ν | ἀνδρῶν, οἵτ]ινες θησεῦντι καὶ πωλησεῦντι τὸ ἔλαιον ἰς τ[ὸ | γυμνάσιον ἀ]φθόνως καὶ ἀνεπικωλύτως ποιούμενοι τὰν θέσιν, | [ἀναγράψαι ὁ]πό-
5 σας[1] κα ἕκαστοι λάχωντι ἁμέρας ἀρξαμένο[υς | ἀφ' ἃς[2] κα ὁ ἱερεὺς ὁ] μετὰ Εὐκράτη[3] ἱερατεύῃ μέχρι Θεσμοφορίου τρίτ[ας, | ὅπως τὸ λοιπ]ὸν ἐπὶ τοῖς προγεγραμμένοις γείνηται ἁ θέσις κ[αὶ ἁ πώλη|σις παρὰ τῶν] λαχόντων καὶ προγεγραμμένων ἀνδρῶν ἢ ὑπ' αὐ[τῶν | ταχθέντων· τ]ῶν δὲ λαχόντων τὰ ὀνόματα ὁ γραμματεὺς [ἀνα|γραψάτω,
10 καὶ] ποτιγράψας ἑκάστῳ τὰς ἁμέρας ἃς κα ἑκάστου λάχῃ ὄνομ[α | ἐκ τοῦ ... τι]μάματος[4], συνκλαρωσάτω καὶ ἀναγραψάτω κατὰ ταὐτά· ὁ δὲ ἱ[ερεὺς[5] | γράψας[5] τόδ]ε τὸ ψάφισμα ἐστάλᾳ λιθί[νᾳ] θέτω πρὸ τοῦ ἀγορανομ[ίου | ποτιγράψας κ]αὶ μῆνα καὶ ἁμέραν ὅλου τοῦ ἐνιαυτοῦ, ἵνα κα ἕκαστος [εἰδῇ | κατὰ μῆνας καὶ ἁ]μέρας τὸν ἐνιαυτόν[6].

1 -ΩΣΑΣ. Suppl. Hi. 2 Kaibel IG XII 1. 3 Eponymus Solis sacerdos, utrum idem fuerit atque ille apud Nilssonium l.l. 423_{207} an homonymus, dubitatur. 4 Pro censu alii maiorem alii minorem dierum fungendi muneris numerum assignatum esse hinc cognoscitur. Etiam in fastis (not. 6) nonnulla nomina repetita inveniuntur. 5 Suppl. Dttb.
6 Decretum saeculo tertio (scilicet a. Chr.) non antiquius esse indicat C.; iota nisi versu 1 subscriptum non esse videtur; scriptio ἰς, γείνηται aevo seriori convenit. Sermone Dorico Rhodii etiamtum utebantur, cum libertatem reddidit Titus imperator (cf. n. 819 not. in.). Quare comparata insuper scriptura (ΘΠ) nulla est idonea causa, cur huc non referamus fastorum fragmenta IG XII 1, 4 (cf. I. Brit. Mus. IV 2, 966), quorum singulis diebus adscripta sunt singula nomina. Mensium nomina ibi exhibet columna II Σμ(ίνθιος), cui sextum et Ἀρτ(αμίτιος) cui septimum locum tribuas

ποτα[ν]α[γ]ραψάτω δὲ καὶ τὰ πλε[ονά|ζοντα ὀνόματα 7, εἴ κα χ]ρεία
15 γείνηται, [μὴ τὰν δα]πάναν ἄγῃ ὁ δᾶμος ... |_ c 281 _ς καταβαλ-
λέσθων γράμματα 8 | [_ c. 111 _ εἰ δέ κα ὁ ἱερεὺς μὴ ἀνα]γράφ[η τι τού-
τ]ων [ἢ μ]ὴ ποιῇ τὰ π[ρο|γεγραμμένα, ἀποτεισάτω _ _

col. III Ὑα(κίνθιος) et Π(άναμος) α′, cui nonum et decimum; col. IV. Π(άναμος) β′ i.e. intercalarius, cui tertium decimum, ac praetera incerto loco Ἀγρ(ιάνιος), cui ex coniectura octavum in tertia columna dedimus. Et his et aliis de causis (cf. n. 644 II) mensium Rhodiorum seriem ita constituit Nilsson Bull. Ac. Danemark 1909, 132):

semestre hibernum:	semestre aestivum:
I. Θεσμοφόριος (Πυανοψιών)	VII. Ἀρταμίτιος (Μουνιχιών)
II. Διόσθυος (Μαιμακτηριών)	VIII. Ἀγριάνιος (Θαργηλιών)
III. Θευδαίσιος (Ποσιδεών)	IX. Ὑακίνθιος (Σκιροφοριών)
IV. Πεταγείτνυος (Γαμηλιών)	X. Πάναμος (Ἑκατομβαιών)
V. Βαδρόμιος (Ἀνθεστηριών)	XI. Καρνεῖος (Μεταγειτνιών)
VI. Σμίνθιος (Ἐλαφηβολιών)	XII. Δάλιος (Βοηδρομιών)

intercalarius: XIII. Πάναμος β′.

Sminthius propter Bacchi Sminthii cultum (IG XII 1, 763) cum ludis scaenicis coniunctum apte componitur cum Elaphebolione, quo mense magna Dionysia Athenis celebrabantur; plurimum enim apud Rhodios valebant exempla Attica. Quodsi tota haec ratiocinatio praescripto illo Nesiotarum (n. 620_{32}) everti videtur, quo Samiorum Ἀπατουριών — Athenis Apaturia Pyanopsione agebantur — cum Rhodiorum Sminthio comparabantur, huic potius conclusioni (Bischoff Realenc. IX Kalender § 51) quam probabili monumenti Rhodii interpretationi diffidat Hi. 7 Suppl. Hi. 8 Cf. Tloiorum Lyciorum decretum (Wilhelm Bull. Hell. XXV 100): μετουσία ἱερέων κ[αὶ τ]ῆς συναγωγίας καὶ τῶν ἄλλω[ν τ]ῶν τὰ γράμματα καταβαλλομένων εἰς κιβώτιον. Supplementa incerta eiecimus.

△**975. Deliorum lex de carbonibus, c. 250.** Stela marmorea integra, posita et reperta Deli loco ubi postea porticus Philippi exstructa est. Edd. et commentati sunt Schulhof et Huvelin Bull. Hell. XXXI 1907, 46; cf. Holleaux CR Ac. Inscr. 1905, 799; Wilhelm NBeitr. IV 1915, 27. [*Zie*]

ἄνθρακας μηδὲ ῥυμοὺς 1 μηδ[ὲ ξύλα ὅς ἂν μὴ χρῇ]|ται τοῖς σταθμοῖς 2
τοῖς ξυληροῖ[ς, μὴ πωλεῖν. μὴ]| πριάμενον ἐν Δήλωι πωλεῖν, μηδὲ ὄν[τα

Priore parte legis (v. 1—32) agitur de ceteris venditoribus carbonum et lignorum, eorumque condicionibus vendendi, posteriore parte (v. 33—44) de immunibus. 1 Ligna rotunda quae foco imponebantur secundum edd. cf. ad IG XI 2, 154 *A* 18 — v. 1—3 suppl. Wilhelm contra edd. qui sibi persuaserant initium legis in alio lapide scriptum fuisse atque ante v. 1 supplendum esse [μηδὲ ἐξέστω πωλεῖν]. 2 Mensuras publicas in agoranomio dici (cf. v. 38) apparet ex IG XI 2, 287 B_{142} ταῦτα ἐστήσαμεν ἐν τῶι ζυγῶι τῶι ἐλάττονι τῶι ἐν ἀγορανομίωι.

5 ἐν τῶι] | πλοίωι τούτ[ω]ν μηθὲν πριάμενον[3]. εἰς αὐτό[ν] | τὴν ἀπο-
γραφὴν[4] ποιησάμενον πωλεῖν· μηδὲ | ἐπικηρυσσόμενα καθισάμενον[5]
πωλεῖν, μη|δὲ τὰ ἀλλότρια ξύλα μηδὲ ῥυμοὺς μηδὲ ἄν|θρακας· μηδὲ
ἐξέστω πωλεῖν ἀλλ' αὐτοῖς τοῖς | εἰσάγουσιν, μηδὲ πλείονος[6] πωλεῖν ἢ
10 ὅσου ἂν | ἀπογράψωνται πρὸς τοὺς πεντηκοστολό|γους[7] μηδὲ ἐλάσονος·
ἀπογραφέσθωσαν | δὲ καὶ πρὸς τοὺς ἀγορανόμους οἱ εἰσαγαγόν|τες πρὸ
τοῦ πωλεῖν ὅσου ἂν ἀπογράψωνται | πρὸς τοὺς πεντηκοστ[ο]λόγους· ἐὰν
15 δέ τις | παρὰ τὰ γεγραμμένα πωλεῖ, πεντήκοντα | δραχμὰς ὀφειλέτω,
καὶ ἐξέστω εἰσαγγέλ|λειν τῶι βουλομένωι τῶμ πολιτῶν πρὸ|ς τοὺς ἀγο-
ρανόμους· οἱ δὲ ἀγορανόμοι εἰσα|γόντων[8] τὰς εἰσαγγελίας ταύτα////ς
20 εἰς τοὺς | τριάκοντα καὶ ἕνα[9] ἐν τῶι μηνὶ ἐν ὧι ἂν εἰσαγ|γελθεῖ· τὸν
δὲ μισθὸν τῶι δικαστηρίωι παρα|βαλλέσθω[10] ὁ εἰσαγγείλας· ἐὰν δὲ
ὄφλει, | τόν τε μισθὸν ἀποτεισάτω τῶι παραβαλομέ|νωι καὶ τοῦ γε-
25 γραμμένου ἐπιτιμίου τὰ δύο | μέρη[11], τὸ δὲ τρίτον μέρος τῶι δημο-
σίωι, καὶ οἱ ἀγ[ο]|ρανόμοι πραξάτωσαν αὐτὸν δέκα ἡμερῶν ἀφ' ἧς |

---

3 ‚*Der Händler soll nicht verkaufen, wenn er (Kohlen und Holz) erst in Delos gekauft hat, und auch nicht, wenn er an Bord seines Schiffes befindlich (im Hafen von Delos liegend) irgendeine dieser Waren gekauft hat.*' Wilh. 4 Bis venditor pretium rerum venalium suo nomine non alterius ut domini navis profiteri debet primum apud coactores quinquagesimae. Cf. n. 952_2: εἴ τίς κα ἐσάγῃ εἰς τὰν τῶν Κυπαρισσιέων χώραν, ἐπεί κα ἐξέληται τὰ ἐμπόρια, ἀπογραψάσθω ποτὶ τοὺς πεντηκοστολόγους καὶ καταβαλέτω τὰμ πεντηκοστὰν π[ρὶ]ν ἀνάγειν τι ἢ πωλεῖν), deinde apud agoranomos (v. 11). 5 Edd. recte provocant ad Hesych. s. v. ἐκαθίσατο: Ἀττικοί· ὅταν τις ὠνούμενός τι τῶν ὑπὸ κήρυκι (πι)πρασκομένων, παραγρῆμα αὐτὸ μὴ ἀπάγῃ, ἵνα δὴ κυρία αὐτῷ μένῃ ἡ ὠνή atque locum sane difficilem sic interpretantur: vetantur vendere per praeconem (ὑπὸ κήρυκος Deli XI 2, 199 D 42) res emptas in foro relinquentes. 6 Cf. Platonis Leges XI p. 917 B ὁ πωλῶν ὁτιοῦν ἐν ἀγορᾷ μηδέποτε δύο εἴπῃ τιμὰς ὧν ἂν πωλῇ, ἁπλῆν δὲ εἰπών, ἂν μὴ τυγχάνῃ ταύτης, ἀποφέρων ὀρθῶς ἂν ἀποφέροι πάλιν καὶ ταύτης τῆς ἡμέρας μὴ τιμήσῃ πλέονος μηδὲ ἐλάττονος. 7 De vectigalis quinquagesimae invectis et evectis mercibus impositae coactoribus cf. ad IG XI 2, 161 A_{26}, πεντηκοστολόγιον 154 A_{38}, πεντηκοστὴ ἡ ἀστία 287 A_9. 8 Ut bis occurrunt imperativi antiquiores in -ντων desinentes (εἰσαγόντων 18 et προσθέντων 28), cum ceteris locis occurrat -τωσαν et -σθωσαν, ita -ει pro -η occurrit quater in 3. pers. coniunct. (15. 21. 22. 27), unde edd. recte aetatem tituli statuerunt paulo post a. 250 a. Chr. 9 De iudiciis Deliorum (ἡλιαία) cf. ad XI 203 A_{62}. 10 Haec est παρακαταβολή iuris Attici (Lipsius Att. Recht u. Rechtsverfahren 933 sq.), quae redit Corcyrae (Laum Stiftungen 2, 1 114). 11 De praemio delatoris cf. Ziebarth Herm. XXXII 609 sq. Wilhelm Jahresh. XII 128 sq.

ἂν ὄφλει ἀνεύθυνοι[12] ὄντες· ἐ[ὰ]ν δὲ μὴ δύνωνται, | ἐξομόσαντες[13] προσθέντων αὐτὸν καὶ τὰ αὐ|τοῦ τῶι εἰσαγγείλαντι, καὶ ἀναγράψαντες
30 εἰ|ς τὴν σανίδα[14] οὗ καὶ τὰ λοιπὰ γράμματα παραδό|[τ]ωσαν εἰς τὸ δημόσιον τῆι βουλῆι.
οἱ δὲ ἀτελεῖς[15] ὄντες εἰσάγουσιν ξύλα ἢ ῥυμοὺ[ς] | ἢ ἄνθρακας τὰ πωλούμενα τῶι ξυληρῶι στα|θμῶι, ἀπογραφέσθωσαν πρὸς τοὺς ἀγορα-
35 νό|μους πρὸ τοῦ πωλεῖν ὅσου ἂν μέλλωσι πωλεῖν, | καὶ μὴ ἐξέστω αὐτοῖς μήτε πλείονος μήτε ἐ|λάσσονος πωλεῖν ἢ ὅσου ἀπεγράψαντο· ἐὰν δέ τι|νες μὴ πειθαρχῶσιν τοῖς γεγραμμένοις, οἱ ἀγο|ρανόμοι αὐ-
40 τοῖς μὴ διδότωσαν μήτε τὰ ζυγὰ μήτε | τὰ μέτρα τὰ ἀνθρακηρά, καὶ τοῦ τόπου[16] οὗ ἂν αὐ|τοῖς κείμενα ἦι τὰ ξύλα ἢ οἱ ἄνθρακες ἢ οἱ ῥυμοὶ | φερέτωσαν τῆι πόλει μισθὸν τῆς ἡμέρας δρα|χμὴν ἕως ἂν ἄρωσιν, καὶ οἱ ἀγορανόμοι πραξάτω|σαν αὐτούς, ἀνεύθυνοι ὄντες.

---

12 Edd. recte conferunt p. 83 tit. Delium CIG 2266$_{11}$ ἐξέστω τοῖς ἐπιστάταις εἰσπρᾶξαι τὸν ἐργώνην καὶ τὸν ἐν[γυητὴν -- ἐὰν | πρ]ογινώσκωσιν, ἀζημίοις οὖσι καὶ ἀνυποδίκοις et similiter supra n. 731$_{19-22}$. Cf. praeterea Wilhelm Jahresh. XII 1909, 129 sq. 13 Cf. v. 36—37 legis quae dicitur ἱερὰ συγγραφή allatae ab edd. p. 91 εἰὰν δὲ μὴ δύνωνται πρᾶ[ξα]ι, ἐξομόσαντες -- [ἀ]δύνατοι εἶναι [πρᾶ]ξαι, ἀναγραφόντων αὐτοὺς εἰς τὴν στήλην πατρόθεν ὀφείλοντας τῶι θεῶι καὶ αὐτοὺς καὶ τοὺς ἐγγυητάς. 14 De tabulis ligneis magistratuum cf. Wilhelm Beitr. 240 sq. 15 ἀτέλεια vel ἀτέλεια πάντων vel ἀ. ἐν Δήλωι πάντων una cum proxenia saepissime saec. IV et III donabatur neque tamen nominatur Deli post tit. XI 4, 692 anno fere 230 conscriptum, quocum optime congruunt quae de aetate tituli huius diximus. 16 Cf. legem Andan. n. 736$_{101}$ μηδὲ πρασσέτω μηθεὶς τοὺς πωλοῦντας τοῦ τόπου μηθέν. Inschr. Magn. 239 τόπος ὑπηρετῶν οἰκοδόμων simil. 237.

△**976. Samiorum lex frumentaria, saec. II.** Sami in urbe. Edd. v. Wilamowitz SBAk. Berl. 1904, 917 (Thalheim Herm. XXXIX, 604; Bleckmann I. Gr. Staatenk. 59); cf. Wilhelm Wien. Eranos 1909, 125. [*Hi*]

I --| .ν τῶ[ν εὐπ]ορωτάτων. τὴν δὲ ἀπόδειξιν ποιείσθω[σαν] | τοῦ μηνὸς τοῦ Κρονιῶνος[1] ἐν τῆι δευτέραι τῶν ἐκ[κλησι]|ῶν. συναγέτωσαν δὲ

Et litterae et scripturae inconstantia saeculo II conveniunt. Quod Samii Anaeitidis fertiles agros tenent, tempus anno 188 recentius indicat, quo Manlius Volso Samiis favit (n. 688 not. init.). Ante annum 188 agri huius pars Magnetum fuerit, cum decretum I. Magn. 94 inter Anaeam et Panionium inventum Magnesiae fuisse nominum ratione certo demonstraretur (cf. n. 685[4], contra Wil. p. 927[2]), pars Prienensium (n. 599), qui a. 196 victoria simul parta pacem cum Milesiis fecerant (n. 588). 1 Κρονιών i.q. atticus Σκιροφοριών ultimus, Πελυσιών (v. 56) i.q. Ἑκατομβαιών primus,

τὴν ἐκκλησίαν οἱ πρυτάνει[ς ἐν τῶι] | θεάτρωι καὶ κελευέτωσαν τοὺς
5 ἐκκλησιάζοντα[ς κα]|τὰ χιλιαστὺν[2] καθίζειν, σημεῖα ποιήσαντες καὶ
τ[όπον] | διορίσαντες ἑκάστηι τῶν χιλιαστύων· ὃς δ' ἂν ἀπει|θῆι καὶ
μὴ καθίζῃ ἐν τῆι ἑαυτοῦ χιλιαστύι, ζημιούτω|σαν στατῆρι πατρίωι[3].
ἐὰν δὲ ἀδίκως ἐζημιῶσθαι φῆι, | παραγραψάσθω[4], καὶ ἡ κρίσις γι-
10 νέσθω ἐν τῶι πολιτικῶι δι|καστηρίωι[5] ἐν ἡμέραις εἴκοσι. γινέσθω
δὲ καὶ ἡ προβολὴι[6] | καὶ ἡ χειροτονία ὑπ' αὐτῶν τῶν χιλιαστήρων.
II ἐν ταύτηι | δὲ τῆι ἐκκλησίαι δοκιμαζέτωσαν αἱ χιλιαστύες καὶ τὰ |
ὑποθήματα καὶ τοὺς ἐγγύους[7]. ἃ δ' ἂν δοκιμάσωσιν ὑ|ποθέματα καὶ
15 οὓς ἂν δοκιμάσωσιν ἐγγύους καταγρα|φέτωσαν οἱ πρυτάνεις εἰς τὰ δη-
μόσια γράμματα. ὁ|μοίως δὲ καὶ τοὺς ἀποδειχθέντας μελεδωνοὺς[8]
κατα|χωριζέτωσαν εἰς τὰ δημόσια γράμματα. ὅταν δὲ [ἡ] | χειροτονία
μέλλῃ γίνεσθαι, ὁ τῆς πόλεως κῆρυξ ἐπε[υ]|ξάσθω, τοῖς χειροτονήσασιν
20 οὓς νομίζουσιν βέλτιστα | προστήσεσθαι τῶν χρημάτων ἄμεινον εἶναι.
III οἱ δὲ ἀπο|δειχθέντες εἰσπρασσέτωσαν τὸν τόκον παρὰ τῶν δε|δανει-
σμένων καὶ διαγραφέτωσαν τοῖς ἐπὶ τοῦ σίτου κε|χειροτονημένοις ἀν-
δράσιν. ἐκεῖνοι δὲ ἀγοραζέτωσαν | σῖτον τὸν ἀπὸ τῆς εἰκοστῆς[9] ἀπο-
25 μετρούμενον | τῆς ἐξ Ἀναίων[10], διδόντες τῆι θεῶι τιμὴν μὴ ἐλάσσονα |
ἧς πρότερον ὁ δῆμος τέταχεν [δραχμὰς][11] πέντε καὶ δύ' ὀβο|λούς. τὸ
δὲ ὑπεραῖρον ἀργύριον, ἐὰμ μὲν μὴ δόξηι τῶι δή|μωι σιτωνεῖν, τηρεί-
τωσαν αὐτοὶ μέχρι ὅτου ἕτεροι ἀποδει|χθῶσιν ἐπὶ τοῦ σίτου· εἶτεν
30 διαγραφέτωσαν ἐκείνοις. ἐὰν δὲ | δόξηι σιτωνεῖν, ἀποδιαγραφέτωσαν[12]
IV παραχρῆμα τῶι κε|χειροτονημένωι σιτώνῃ. ἐκεῖνος δὲ ἀγοραζέτω

Ἀρτεμισιών (v. 37) i.q. Ἐλαφηβολιών nonus anni Samii mensis. Bischoff Realenc.[2] s.v. Kalender § 73. 2 N. 312[6]. 3 De didrachmis priscae Samiorum et aliis recentioris normae cf. Head HN[2] 603/5. 4 Lipsius Att. Recht III 848. Alium verbi usum illustrat Wilhelm Herm. XLIV 51. 5 De δικαστηρίοις πολιτικοῖς et ἀστικοῖς, quibus opposita erant ξενικά, cf. n. 364[24].

6 Iota abundat, ut saepe in titulis saeculi primi. Plat. Leg. VI 765 *b* καὶ τὴν προβολὴν δὴ τὸν αἱρούμενον ἐκ τῶν ἐμπείρων ποιητέον. Differt actio π., de qua Lipsius l.l. (not. 4) 211. 7 Partsch Gr. Bürgschaftsrecht 268/9.

8 Vox ionica a verbo ionico (Favre Thes. 255) μελεδαίνειν (n 2 *B*) i.e. curare derivata. 9 Vigesima ex terris sacris Iunoni (τῆι θεῶι) debita.

10 De Anaeis cf. not. init. Samii dicebant se ex Ionum arbitris accepisse a Milesiis Ἀ.. καὶ Θήβας καὶ Μαραθήσιον, a Colophoniis autem Ἄναια (I. Priene 37[58]). De Samiis exulibus qui belli Peloponnesiaci temporibus locum tenebant Thuc. III 19. 32; de Samiorum peraea Ps. Scyl. 98 (c. a. 347).

11 Spatium vacuum relictum erat; an quia compendium non intellexit quadratarius? Wil. Pretium quin μέτρον (not. 17) s. medimni sit, nemo dubitabit. 12 Cf. papyrum saec. II Mayser Gramm. 498.

τὸν σῖ|τον ἐκ τῆς Ἀναιείτιδος[13] χώρας ὃν τρόπον ἂν νομίζῃ | λυσιτε-
λέστατα καταστήσειν τῆι πόλει, ἐὰμ μή ποθεν ἄλλο|θεν λυσιτελέστερον
35 φαίνηται τῶι δήμωι σιτωνεῖν. εἰ δὲ μή, γε|νέσθω ὃν τρόπον ἂν δόξῃ
τῶι δήμωι. προτιθέτ[ω]σαν δὲ περ[ὶ] | τούτου καθ' ἕκαστον ἐνιαυτὸν
οἱ πρυτάν[εις] ο[ἱ τὸ]ν μῆνα τὸν | Ἀρτεμισιῶνα πρυτανεύοντες, ποιησά-
V μενοι προγραφήν. ἀ|ποδεικνύτω δὲ ὁ δῆμος καθ' ἕκαστον ἐνιαυ-
τὸν ἐν τῆι πρώτῃ | τῶν ἀρχαιρεσιῶν[14] μετὰ τὸ καταστῆσαι τὰς χειρο-
40 τονητὰς | ἀρχὰς ἄνδρας δύο, ἐξ ἑκατέρας φυλῆς[15] ἕνα, τοὺς ἐσο|μένους
ἐπὶ τοῦ σίτου, μὴ ἐλάσσονα οὐσίαν ἔχοντα ἑκάτερον | ταλάντων τριῶν.
οὗτοι δὲ παραλαβόντες τὸν τόκον παρὰ | τῶν μελεδωνῶν διδότωσαν
τὴν τιμὴν τοῦ σίτου καὶ ἐ|άν τι ἄλλο δαπάνημα γίνηται, παραμετρεί-
45 σθωσαν δὲ | καὶ τὸν σῖτον. ἀποδεικνύτω δὲ καὶ σιτώνην ὁ δῆμος ἐν |
τῆι αὐτῆι ἐκκλησίαι, μὴ ἐλάσσονα οὐσίαν ἔχοντα τα|λάντων δύο.
VI γινέσθω δέ, ἐὰν δόξῃι, καὶ μίσθωσις τοῦ ἀρ|γυρίο[υ] τοῦ ἐκ τοῦ τόκου,
ἐάν τινες βούλωνται ὑποθέμα|τα δόντες ἀξιόχρεα καὶ διεγγυήσαν-
50 τες[16] προλαβεῖν[17] | καὶ λυσιτελέστερον καταστῆσαι τὸν σῖτον. τὴν
δὲ δ[ι]|εγγύησιν ποιείσθωσαν οἱ ἄνδρες οἱ χειροτονηθέντες ἐπ[ὶ] | τοῦ
VII σίτου κινδύν[ω]ι τῶι ἑαυτῶν. τὸν δὲ συναγορασθέν|τα πάντα
διαμετρείτωσαν τοῖς πολίταις κατὰ χιλι|αστὺν τοῖς ἐπιδημοῦσιν, με-
55 τροῦντες ἑκάστωι τὸμ μῆ|να δωρεὰν μέτρα[18] δύο. ἀρχέσθωσαν δὲ
τῆς διαμετρήσ[ε]||ως μηνὸς Πελυσιῶνος καὶ μετρείτωσαν ἑξῆς ἐφ'

---

13 Pro Ἀναιείτιδος. Sed cf. γῆς δενδρείτιδος I. Priene 12$_{23}$ (paullo post a. 300), quod forma δένδρεον defenditur. 14 De ἀρχαιρεσίαις cf. Swoboda Volksbeschl. 117[1]. Duae quotannis fieri debebant, ubi sicut Teni magistratus semenstres, tres, ubi sicut Erythris in quaternorum mensium tempus eligendi erant. 15 Duas tribus fuisse tradit Themistagoras ἐν τῇ χρυσῇ βίβλῳ (Et. M. Ἀστυπαλαία FHG IV 512, 1), ⟨Σ⟩ Χησίαν et Ἀστυπαλαίαν, cf. schol. Nicand. Alex. 151 Χησιεῖς πρῶτον κατῴκησαν ἐν Σάμῳ, εἶτα Ἀστυπαλαιεῖς. Ex his Χησιεῖς partem insulae occidentalem circa Κερκέτιον ὄρος tenuisse Nicander Al. 148 cum scholiis docet. Ἀστυπαλαιεῖς igitur orientalem partem, Iunonis templum, urbem ipsam tenebant. Contra Herodoti (III 26) φυλὴ Αἰσχριωνία non tribus erat, sed gens sive πάτρα. Wil. p. 931. 16 Cf. Deli a. 249 ἀνεμισθώσαμεν -- τὸ χωρίον ὃ καλεῖται Ῥάμνοι, οὗ καθιστάντος Ξενομήδους τοὺς ἐγγύους κατὰ τὴν ἱερὰν συγγραφὴν ὅτε ἦσαν αἱ διεγγυήσεις IG XI 2, 287 *A*$_{136}$; Partsch Bürgschaftsr. 113[2]. 17 Non τὸ ἀργύριον, sed intransitive ‚*zuvorkommen*'. Wil. 18 μέτρον hoc certa est mensura, a medimno vix diversa; cf. Homeri et Hesiodi μέτρα ἀλφίτων, οἴνου al. Hultsch Metr.[2] 499. Multo minus est Tauromenitarum ἐλαίου μέτρον: Hultsch 157/9, Nissen Handb. Altertumsw. I[2] 884 (= $\frac{1}{96}$ μέδιμνος s. $\frac{1}{72}$ μετρητής).

ὅσους | ἂν ἐκποιῆι 19 μῆνας· ἕτεροι δὲ ὑπὲρ ἑτέρου 20 μὴ μετρείτωσ[αν],
ἐ[ὰμ] μή τις ἀρρωστῆι· ποιείσθωσαν δὲ τὴν μέτρησιν ἀπὸ | νουμηνίας
60 ἕως δεκάτης, τοῖς δὲ ἀποδημοῦσιν ἐὰν ἔλθω|σιν ἕως τριακάδος. ἀπο-
διδότωσαν δὲ λόγον καθ' ἕκαστον | μῆνα τῶμ μετρησαμένων ἐπὶ τὸ
ἐξεταστήριον γράφοντες | κατὰ χιλιαστὺν καὶ προστιθέντες τὰ ὀνόματα
VIII τῶν μετρη|σαμένων. ἐξουσία δὲ ἔστω τοῖς χιλιαστῆρσιν τὸν αὐτὸν
IX με|λεδωνὸν ἀποδεικνύειν ἐφεξῆς ἐφ' ἔτη πέντε. ἐὰν δέ τις τῶν |
65 δανεισαμένων μὴ ἀποδιδοῖ 21 τὸ ἀργύριον ἢ πᾶν ἢ μέρος τι, τὸ
ὑ|πόθεμα ἀποδόσθω ἡ χιλιαστός, καὶ ἐάν τις ὑπεροχὴ γένητα[ι], | ἀπο-
δότω τῶι τὸ ὑπόθεμα δόντι. ἐὰν δέ τι ἐνλίπῃ, τὴν πρᾶξιν | ποιησάσθω
ἐκ τοῦ ἐγγύου. τὸν δὲ τόκον διδότω τὸν ἐπιβάλλο[ν]]τα ἡ χιλιαστὺς
70 τοῖς ἐπὶ τοῦ σίτου χειροτονηθεῖσιν. ἐὰν δὲ μὴ | δοῖ, μὴ διαμετρεί-
σθωσαν οἱ χιλιαστῆρες τὸν ἐπιβάλλον|τα σῖτον μέχρι ποιήσωσιν τὰ
δίκαια. ἐὰν δέ τις τῶν χειροτο|νηθέντων μελεδωνῶν λαβὼν τὸ ἀρ-
γύριον ὃ δεῖ αὐτὸν δα|νεῖσαι μὴ δανείσηι ἀλλ' αὐτὸς κατάσχῃ ἐπ'
ἀδικίαι, ὀφειλέτω | τῆι πόλει δραχμὰς μυρίας· ὁμοίως δὲ καὶ ἐὰν τὸν
75 τόκον μὴ | ἀποδοῖ τοῖς ἐπὶ τοῦ σίτου χειροτονηθεῖσιν ἀνδράσιν ὀφειλέ|τω
τὸ ἴσον πρόστιμον, καὶ ἀναγραψάτωσαν αὐτοῦ τὴν οὐσίαν | οἱ ἐξεταστὰι
τῆι χιλιαστύι πρὸς τὸ ἀργύριον ὃ καθῆκον ἦν αὐ|τὸν ἀποδοῦναι· πρὸς
δὲ τὸ πρόστιμον ἀναγραψάτωσαν ἄτιμον, | καὶ ἔστω ἕως καταβάλῃι
80 ἄτιμος. μὴ διαμετρείσθωσαν δὲ μηδ[ὲ] | οἱ χιλιαστῆρες τὸν ἐπιβάλ-
λοντα σῖτον οἱ ἀποδείξαντες τὸν με|λεδωνὸν τὸν μὴ καταβαλόντα τὰ
χρήματα. ἐὰν δὲ βούλωνται [οἱ] | χιλιαστῆρες καταβαλεῖν τὰ χρήματα
ἢ πάντες ἤ τινες αὐτῶ[ν] | πρὸς μέρος, ἃ ὁ μελεδωνὸς οὐκ ἀπέδωκεν
τῆι πόλει ἢ ὁ δανεισάμ[ε]]νος, ἐξουσία αὐτοῖς ἔστω, καὶ ὡς ἂν κατα-
X 85 βάλωσιν διαμετρείσθ[ω]]σαν τὸν σῖτον ἀφ' οὗ ἂν καταβάλωσιν. μὴ
ἐξουσία δὲ ἔσ|τω μηθενὶ εἰς μηθὲν ἄλλο χρήσασθαι τοῖς χρήμασιν
τούτοις | μηδὲ τῶι πίπτοντι ἀφ' αὐτῶν ἀλλ' εἰς τὸν δωρεὰν διαμετρού-
μ[ε]]νον σῖτον. ἐὰν δέ τις ἢ πρύτανις προθῆι ἢ ῥήτωρ εἴπηι ἢ ἐπι-
στάτη[ς] | ἐπιψηφίσηι, ὡς δεῖ προχρήσασθαι εἰς ἄλλο τι ἢ μετενεγ-
90 κεῖν, ἀπο|τι[ν]έτω ἕκαστος δραχμὰς μυρίας. ὁμοίως δὲ καὶ ἐὰν ταμίας
ἢ με|λεδωνὸς ἢ τῶν ἐπὶ τοῦ σίτου χειροτονηθέντων ἢ σιτώνης δῶ|σιν
ἢ προχρήσωσιν εἰς ἄλλο τι καὶ μὴ εἰς τὸν δωρεὰν διαμε|τρούμενον 22.

19 Poll. IX 154 ἀρκεῖ -- ἐπὶ τούτου τὸ ἐκποιεῖ εἴρηκεν ἐν τῷ ὑπὲρ Ἀχιλλείδου φόνου Λυσίας. Herwerden Lex.² 461. 20 Debebat ἕτεροι (s. -ος) ὑπὲρ ἑτέρων (s. -ου). 21 l.q. ἀποδιδῶι, cf. n. 1109$_{102}$. 22 Sequuntur nomina civium (vss. 128) qui pro semet ipsi et filiis pecuniam dederunt. Numeri exstant πεντήκοντα, ἑκατόν, διακοσίας, τριακοσίας, πεντακοσίας, χιλίας

II.

Res sacrae.

Conferas libros: Leges Graecorum sacrae e titulis collectae. I Fasti sacri, ed. I. de Prott 1896 [= v. Prott]. II 1 Leges Graeciae et insularum, ed. L. Ziehen 1906 [= Ziehen].

1. Templa et delubra, arae, simulacra.

Adde n. 93. Decretum Atticum de sacello Codri, Nelei, Basilae (2 550). 280. Decretum Atticum de sacello Veneris Citiensibus constituendo (2 551). 695. Magnetum decretum de Dianae Leucophryenae templo consecrando (2 552). 589. Magnetum legem de Iove Sosipolide (2 553). 375. Decretum Atticum de delubro Veneris Πανδήμου lustrando (2 556). 635. Amphictionum de asylia fani Ptoii decretum (2 557; cf. illa de Magnetum asylia II 554—562, de Teiorum asylia II 563/6 alia). 756. Decretum Atticum de sacello Aesculapii restaurando (2 558). 338. Ialysiorum legem sacram (2 560). 281. Atheniensium decretum de fontibus sacris (2 580).

Omisimus Magnetum decreta de Sarapide (2 554; cf. n. 663 Sarapei Delii res). Trimetrum Delium (2 564; cf. 3 999 7, Croenert Goett. GA 1908, 1028; IG XII 4, 1300). Legem Pariam mutilam (2 569; Ziehen 107). Terminum Trallianum (2 573), cf. lemma n. 167—170, sed etiam Keil-v. Premerstein Lydien 1914, 103. 154. Titulum Epidaurium (2 581; substitutum n. 995). Rationes quaestorum Minervae et aliorum deorum Atticas (2 586); rationes praefectorum et quaestorum dearum Eleusiniarum a. 329/8 (2 587); rationes hieropoeorum Apollinis Delii anni 180 (2 588), summi illas quidem momenti ad res publicas sacras privatas cognoscendas, sed quae melius una cum similibus iisque plurimis et copiosissimis monumentis, quae corporis Attici et Deliaci editiones novae partim dederunt partim emendata et aucta proponent tractabuntur.

---

977. Anaphaeorum decretum de Veneris templo condendo saec. II. Anaphae in Apollinis Asgelatae fano, nunc Athenis. Edd. CIG 2477; Ross Arch. Aufs. II 495 (IG II p. 1091); Rangabé Ant. Hell. 820; Bechtel SGDI 3430; IG XII 3, 248 (Michel 853, Syll.2 555; Ziehen 122). Cf. Wilhelm Goett. GA 1900, 102. [*Hi*]

I [_ _συντε|λε]σθέντος δὲ [τοῦ ναοῦ ἔστω δαμόσ]ιος[1] [κα]|θότι καὶ ὁ θεὸς ἔ[χρ]ησε[ν· τ]ᾶς δ' ἐπερωτάσ[ε]|ως καὶ τοῦ χρησμοῦ ἀντίγραφά ἐστι τάδε[2]· |

II 5 ἔδοξε τᾶι βουλᾶι καὶ τῶι δάμωι, ἀρχόντων Ξενο|μνάστου, Ἀριστομάχου, Σωσικλεῦς καὶ βουλᾶς γνώμα· | ὑπὲρ τᾶς ἐφόδου[3], ἃς ἐποιήσατο Τιμ[ό]θεος Σωσικ|λεῦς, κατὰ δὲ ὑοθεσίαν Ἰσοπόλιος, ἀξιώσ(ας)[4] αὐτῶι δοθῆ|μεν ἐν τῶι ἱερῶι τοῦ Ἀπόλλωνος τοῦ Ἀσγελάτα[5] τό|πον,
10 ὥσ[τε ναὸ]ν Ἀφροδίτας οἰκοδομῆσαι ὅλαι καὶ λί|θοις καὶ χοῖ [χ]ρώμενος ἐκ τοῦ ἱεροῦ ὧν κα χρείαν ἔχηι | ἐν τῶι τόπωι, ἐν τᾶι αἱμασιᾷ, ὅπει ἁ ἐλαία ἁ ποτὶ τὸν | Εὐδώρειον οἶκον[6] καὶ τὸν Μειδίλειον· τὸν δὲ τόπον, | [ὅ]πει ὁ βωμὸς τοῦ Κτησίου καὶ τὸ ξοάνιον, τὸν τοῖχον |
15 λύσαντα τὰν πάροδον ποιῆσαι ἐς τὸν ναὸν | ταύται, καὶ οἰκοδομηθέντος τοῦ τοίχου τὸν βωμὸν | καὶ τὸ ξοάνιον καταστᾶσαι πάλιν ἐς τὸν τοῖ|χον, τὰς δὲ στάλας τὰς οὔσας ἐν τῶι τοίχωι | καὶ τὸν ἀπόρανθρον[7], ὅσας μέν κα δυνατὸν ἦι, | αὐτεῖ καταστᾶσαι, ὅσαις δέ [κα] μὴ ἦι
20 τόπος, ὅπει κα | δοκῆι χρήσιμον ἦμεν. συντελεσθέντος δὲ | τοῦ ναοῦ ἦμεν δαμόσιον, καθὰ καὶ ὁ θεὸς ἔχρησε, | τᾶς δὲ ἐπερωτάσιος καὶ τοῦ χρησμοῦ ἀντίγροφόν | ἐστιν τὰ ὑπογεγραμμένα. |

III 25 ἐπερωτᾶι Τιμόθεος [τὸ]ν θεόν, πότερον | αὐτῶι λῶιον καὶ ἄμεινόν ἐστιν αἰτήσασθαι | τὰν πόλιν ἐν τῶι ἐπινοεῖ τόπωι ἐν τῶι τοῦ | Ἀπόλ-

---

Distinguenda sunt: I Rogatio Timothei (ἔφοδος v. 6. 33). Ex hac v. 1—3 restant. II Decretum senatus populique Anaphaeorum (v. 4—23 et 33—36). III Huic media interposita sunt questio (ἐπερώτασις), quam oraculo proposuerat Timotheus, et oraculi responsum (v. 24—33). Cf. not. 2. 1 Suppl. Wilamowitz. 2 In litteris, quas Timotheus senatui tradiderat, hic subiunctum erat exemplum eorum quae infra v. 24—33 leguntur, quo senatui fidem faceret se dei iussu cum eo agere. At ne plane eadem sine ulla utilitate bis lapidi inciderentur, ea hic praecisa et infra in tenore decreti modo repetita sunt. Wil. 3 Apud Athenienses πρόσοδος vocatur et ius cum senatu populove agendi et ipsa actio; eadem vi alibi ἔφοδος usurpatum esse tituli docent. Cf. n. 941_6: καὶ ἔφοδον ἐπὶ τὸ κοι[νὸ]ν πρώτοις μετὰ τὰ ἱερά. 4 ΑΞΙΩΣ lapis. ἀξιῶν Ross, aut hoc aut ἀξιώσας Wilh. 5 Anaphae colebatur Ἀπόλλων Αἰγλήτης (Ap. Rhod. IV 1694; Hiller Thera I 351/7. Realenc. I 975), quem eundem esse atque Ἀσγελάταν recte statuunt cum huius tituli editores tum v. Wilamowitz Isyllos 93. 6 Hoc de (ἱεροῖς) οἴκοις dici censet Zieh., heroïbus Eudoro et Midylo (Pind. Pyth. VIII 55 πάτραν Μειδυλιδᾶν cum schol. de Aegina) sacris. Probabilius de privatorum hominum casis vicinis cogites. 7 Cum omnia huius generis nomina neutra sint, Be. TON errore pro TO incisum coniecit Dttb. Cf. I. Priene 158 *a*: [ἀπορρ]άνθρωι.

λωνος τοῦ Ἀσγελάτα, ὥστε ναὸν τᾶς | Ἀφροδίτας οἰκοδ[ο]μῆσαι, καὶ ἧμεν δαμόσιον, | ἢ ἐν τῶι ἱερῶι τοῦ Ἀ[σκ]λαπιοῦ ἐν ὧι ἐπινοεῖ |
30 τόπωι. ὁ θεὸς ἔχρησε, αἰτήσασθ[α]ι ἐν τῶι το[ῦ] | Ἀπόλλωνος, τελεσθέντος δὲ τοῦ ναοῦ ἀνα|γραφῆμεν τό τε ψάφισμα καὶ τὸν χρησμὸν | καὶ τὰν ἔφοδον ἐστάλαν λιθίναν.
II 35 περὶ δὴ | τούτων δεδόχθαι τᾶι βουλᾶι, δεδόσθαι | αὐτῶι καθάπερ αἰτεῖται, εἴ κα [δό]ξηι | τᾶι ἐκκλησίαι.

977a. Donarium Delium, a. 112/1. Deli. Ed. Hauvette Bull. Hell. VI 1882, 318, 4 (Syll.² 559; Michel 1166). Cf. Rusch De Serapide 42. [*Hi*]

Θεόφιλος Θεοφίλου | Ἀντιοχεὺς μελανηφόρος[1] | τὴν κονίασιν[2] | τοῦ πα-
5 στοφορίου[3] | καὶ τὴν γραφὴν τῶν τε | τοίχων καὶ τῆς ὀροφῆς[2] | καὶ τὴν ἔγκαυσιν τῶν θυρῶν | καὶ τοὺς προμόχθους[4] | τοὺς ἐν τοῖς τοίχοις |
10 καὶ τὰς ἐπ' αὐτοῖς σανίδας | ἀνέθηκεν Σαράπιδι, Ἴσιδι, | Ἀνούβιδι, Ἁρ-ποχράτει[5], | ἐπὶ ἱερέως Σελεύκου | τοῦ Ἀνδρονίκου Ῥαμνουσίου[6].

Plane geminus titulus est CIG 2297. 1 Hi etiam in aliis titulis Deliacis ad deorum Aegyptiorum sacra spectantibus sunt, velut IG XI 4, 1250 Ἴσι [Κ]τήσιππος [Κ]τησίππου Χῖος μελανηφόρος et infra n. 1134, homines qui nigris vestibus induti deorum Aegyptiorum sacris intererant. ἡ σύνοδος ἡ τῶν μελανηφόρων est in titulo Delio Ἀθηναίου II 134 (Bull. Inst. 1874, 105; Poland Vereinsw. 43), cf. XI 4, 1226. 2 Cf. IG XI 4, 1246 [Ἀγ]άθων Νυμψίου Πετηλ[ῖνος] τὴν ὀρόφωσιν σὺν τῶι κεράμω[ι] καὶ τὴν κονίασιν Σαράπι, Ἴσι, Ἀνούβι, κατὰ πρόσταγμα τοῦ θεοῦ. 3 Aedificium intra sacrum peribolum, ubi habitabant παστοφόροι, de quibus cf. Diod. I 29, 4: τά τε περὶ τὰς θυσίας καὶ τὰς ἀρχαιότητας ὡσαύτως ἔχειν Ἀθηναίους καὶ τοὺς Αἰγυπτίους· τοὺς μὲν γὰρ Εὐμολπίδας ἀπὸ τῶν κατ' Αἴγυπτον ἱερέων μετεννηνέχθαι, τοὺς δὲ Κήρυκας ἀπὸ τῶν παστοφόρων. Manifesto ministri sunt sacerdotibus subditi. Cf. Rusch 55/6. 4 Mutuli, i.e. trabes aut lapides quorum capitibus ex muro prominentibus imponuntur tabulae (σανίδες). Boe. 5 Haec scriptura, quae etiam in aliis inscriptionibus Graecis invenitur (Ἁρποχράτα in titulo Larisaeo IG IX 2, 591. Ἁρποχράτει IG XI 4, 1260 al.) proxime accedit ad Aegyptiacam *Ḥarpechrot* (E. Meyer Lex. Myth. I 2, 2746). Sed studio hoc nomen innumeris illis Graecis quae in -κράτης cadunt assimilandi aspiratio aut in proximam syllabam translata (Ἁρφοκράτης n. 1132₂ al.) aut omnino sublata est; qua forma (Ἁρποκράτης) etsi in titulis vix multo frequentior est illis duabus, scriptorum consuetudinem secuti nos volgo utimur. Dttb. De forma Καρποκράτης cf. Sittig Z. vergl. Sprachf. XLV 242. 6 Sacerdos fuit a. 112/1. Cf. Bull. Hell. VI 339, 42 Σέλευκος Ἀνδρονίκου Ῥαμνούσιος ἱερεὺς γενόμενος ὑπὲρ τοῦ δήμου τοῦ Ἀθηναίων καὶ τοῦ δήμου τοῦ Ῥωμαίων Ἴσιδι Ὑγι[ε]ίαι, cf. ib. XXXII 361; Kirchner PA 12627.

---

978. Cnidiorum de Bacchi fano lex, c. a. 250. Cnidi, nunc Londini. Edd. Newton Discov. Halicarnassus 753, tab. XCII 36; Bechtel SGDI 3500; G. Hirschfeld I. Brit. Mus. IV, DCCLXXXVI (Michel 450; Syll. 561; Quandt De Baccho 192. 247). Cf. Wilhelm Goett. GA 1898, 234. [*Hi*]

ἔδοξε Κνιδίοι[ς, γν]ώμα προστατᾶ[ν][1] · | περὶ ὧν τοὶ Βάκ[χοι][2] | ἐπῆλ-
5 θον, ὅπω[ς] | ἁγνεύηται τὸ [ἱαρὸ]ν τοῦ Διονύσ[ου το]ῦ Βάκχου[3], μὴ
10 ἐ[ξῆ|μ]εν καταλύε[ν][4] ἐν | τῶ]ι ἱαρῶι τῶμ [Βάκ|χων μ]ηδένα μη[δ᾽[5]
-- μη|δ]ένα μη[δὲ -- | ε]ν[6]. εἰ δέ [κα μὴ | ἁγνε]ύη[ται[7] τὸ ἱαρόν, --]

1 Cf. n. 187[1]. 2 Sacerdotes Bacchi interpretatur Hir., sed non video quid impediat quominus hic vocem volgari vi de collegio cultorum dei intellegamus. Dttb. 3 Bacchi sacra apud Cnidios testantur nummi principatus tempore cusi (Head HN[2] 616) et tituli in quibus Dionysiorum feriae commemorantur (Bull. Hell. VII 485, 3. Inscr. Brit. Mus. IV DCCLXXXVII$_{10.16}$).
4 Vocem intransitive usurpatam divertendi vel commorandi vi apparet; cf. κατάλυμα ‚*deversorium*' IG V 1, 869 al. 5 Hic infinitivum fuisse patet.
6 ποι|μαίνε]ν Dttb. Cf. n. 986$_3$. 7 Suppl. Be.

979. Elatensium lex ante a. 400. Inter Elateam et Opuntem Lapis rudis. Edd. Foucart Bull. Hell. VIII 1884, 216 (SGDI 1531; Roberts Introd. I 229*bis*); IG IX 1, 129 (Roehl Imag.[3] 91, 13; Syll.[2] 562; Ziehen 79; Michel 703). Cf. Paris Élatée 34. [*Hi*]

5 ἐν τοῖ ϝα|νακείοι[1] | θύοντα | σκανεῖν[2] · | γυναῖκα[3] | μὲ παρίμε[ν].

Saec. V. 1 Anaces duo multis Graeciae locis culti sunt; quos cave ne cum Cabiris Dioscuris aliisve dis quamvis similibus confundas.
2 De tentoriis quibus Graeci ad sollennia sacra concurrentes utebantur cf. n. 736 VII. VIII. 1000. 3 Sicut Pari IG XII 5, 183 (cf. SGDI IV p. 857, 24): [ὅ]ρος (s. [Δ]ιός?) Ὑπάτο· ἀ[τε|λ]έστοι οὐ θέμ[ι]ς οὐδὲ γυναικί.

980. Astypalaeae, c. a. 300. Edd. Dubois Bull. Hell. VII 1883, 477, 1 (Bechtel SGDI 3472; Michel 794); Hiller IG XII 3, 183 et p. 278 (Syll.[2] 563; Ziehen 123). Cf. Haussoullier Rev. crit. 1900, 28. [*Hi*]

[ἐ]ς τὸ ἱερὸν μὴ ἐσέρπεν[1] ὅσ|τις μὴ ἁγνός ἐστι, ἢ[2] τελεῖ[3], | ἢ αὐτῶι ἐν νῶι ἐσσεῖται.

1 Cf. n. 736$_{36}$ μηδὲ παρερπέτω μηθεὶς ἀμύητος εἰς τὸν τόπον. 1168$_{86}$: ἕρπε ἐς τὸ ἱερόν. 623$_5$ εἰς φάτραν ἕρπειν. Doriensium igitur et Arcadum sermo cotidianus hunc verbi usum, in reliqua Graecia poëtarum proprium, retinebat.
2 Litterae bonae vix cogitare sinunt, graviter peccasse quadratarium, id quod Dttb. sumpsit. Scripsit enim v.d. ὅστις μὴ ἁγνός ἐστι ἢ τέλει(ος), ἢ -- ἐσσεῖται. Immo cavetur, ne quis impurus intret; (si intraverit,) pecuniam deo pendet vel sacrificium nescimus quid lustrandi gratia faciet; quod si non fecerit, ἐνθυμηθήσεται sive αὐτῷ ἐνθύμιον ἔστω, eum paenitebit (Wilamowitz), seu αὐτὸς αὑτὸν αἰτιάσεται (Dttb. ex n. 989). 3 Futurum.

Ad sententiam cf. legem Milesiam Wiegand VI vorl. Ber. 1908, 23 καὶ ἐάν τις γυνὴ βούληται τελεῖν τῶι Διονύσωι τῶι Βακχίωι ἐν τῆι πόλει ἢ ἐν τῆι χώραι ἢ ἐν ταῖς νήσοις, [ἀπο]διδότω τῆι ἱερείαι στατῆρα κατ' ἑκάστην τριετηρίδα [ἕνα].

981. Arcesinensium lex sacra, saec. IV. Arcesines Amorgi. Edd. Weil Ath. Mitth. I 1876, 342, 10 *b* (Michel 711; Syll.² 565); Ziehen 96; Delamarre IG XII 7, 2. [*Hi*]

θεοί. | ἔδοξεν τῆι βο[υλ]ῆι καὶ τῶι δήμωι· Ἀγήνω[ρ] | εἶπε· Μελίτων ἐπ[εσ]τάτει· μὴ ἐξεῖναι κατά|[γ]εσθαι[1] εἰς τὸ Ἡραῖ[ον] ξένωι μηδενί[2],
5 ἐπιμελε[ῖ|σ]θαι δὲ τὸν νεωκό[ρο]ν καὶ ἐξείργειν· ἐὰν δὲ | μὴ ἐξείργηι, ἀποτ[ίνει]ν αὐτὸν τῆς ἡμέρας | ἑκάστης δέκα δρα[χμ]ὰς ἱερὰς τῆι Ἥραι. ἀνα|γράψαι δὲ τόδε τὸ [ψή]φισμα πρὸ τῶν θυ[ρ|ῶ]ν, ἐπιμεληθῆ[ναι] δὲ τοὺς νεωποίας.

1 Suppl. Zie. 2 Cf. similem legem Argivam, et eam de sacris Iunonis Herodot. VI 81 οὐκ ὅσιον εἶναι ξείνῳ αὐτόθι θύειν, Atticam saec. VI ap. eundem V 72 (Minervae sacerdos Cleomeni regi dicit): ὦ ξεῖνε Λακεδαιμόνιε, πάλιν χώρει μηδὲ ἔσιθι ἐς τὸ ἱρόν· οὐ γὰρ θεμιτὸν Δωριεῦσι παριέναι ἐνθαῦτα' et Pariam vix multo antiquiorem IG XII 5, 225 cum add. p. 311 (cf. Ziehen 106; Elter Rh. Mus. 1911, 200; Papabasileiu Ἐφ. 1911, 96; Hiller Berl. ph. W. 1916, 796): χσένωι Δωριῆι οὐ θέμι[ς --] | οὐδὲ δ[ο(ύ)λ]ωι, ἁ Κόρηι Ἀστῶι ε--, ubi de supplementis dubitare licet. Supra in eodem lapide alia lex antiquioribus litteris incisa est (Ziehen 95): ἔδο[ξεν τῆι βολῆι κ]αὶ τῶι δήμωι, Ὀρθ[ε]|σίλεως [εἶπεν]· πῦρ μηδένα καίεν | [ἐν] τῶι Ἥρα[ίωι πρὸ]ς τῶ καινῶ οἴκο τῆς γω(ν)|ίας καὶ τῶ νε[ὼ τῶ πρ]ὸς τῶ Λυκείο· ἐὰν δέ [τι]|ς καίηι, ἀποτι[νέτω δέκ]α δρα[χ]μὰς [ἱερὰς | τῆ]ι Ἥρηι.

982. Pergamenorum lex de Minervae sacris post a. 133. Pergami. Edd. Fraenkel I. Perg. 255 (Michel 730; Syll.² 566). [*Hi*]

I Διονύσιος Μηνοφί[λου] | ἱερονομήσα⟨ντε⟩ς[1] τῶι δήμ[ωι]. |
II ἁγνευέτωσαν δὲ καὶ εἰσίτωσαν εἰς τὸν τῆς θεο[ῦ[2] ναὸν] | οἵ τε πο-

